τερα λέγειν· πάντως γὰρ οὐδὲν ἂν πλεῖον εἰς τὸ παρὸν ποιήσαιμεν· δέομαι δ' ὑμῶν τῶν λόγων ἴσους καὶ κοινοὺς ἡμῖν ἐπιστάτας γενέσθαι, καὶ πάντας ἄρχοντας περὶ τούτων καταστῆναι, καὶ μήτε τοῖς λοιδορουμένοις μήτε τοῖς ὑπὲρ καιρὸν | χαριζομένοις ἐπιτρέπειν, ἀλλὰ τῷ μὲν ἐθέλοντι λέγειν καὶ ἀκούειν εὐμενεῖς εἶναι, τῷ δ' ἀσελγαίνοντι καὶ θορυβοῦντι χαλεπούς. ἀκούσαντες γὰρ ἑκάστου τῶν ὑπαρχόντων ἄμεινον βουλεύσεσθε περὶ ἡμῶν.

Ἔστι δὲ περὶ τῆς μισοδημίας καὶ τῆς στασιωτείας βραχύς μοι λόγος καταλελειμμένος. 8 εἰ μὲν γὰρ ἄκριτος ἦν, εἰκότως ἂν τῶν κατηγορούντων ἠκροᾶσθε καὶ ἐμοὶ ἀναγκαῖον ἦν ἀπολογεῖσθαι περὶ τούτων· ἐπειδὴ δὲ τετράκις ἀγωνιζόμενος ἀπέφυγον, οὐκέτι δίκαιον ἡγοῦμαι λόγον οὐδένα περὶ τούτου γίγνεσθαι. πρὶν μὲν γὰρ κριθῆναι οὐ ῥᾴδιον | ἦν εἰδέναι τὰς αἰτίας, οὔτ' εἰ ψευδεῖς εἰσιν οὔτ' εἰ ἀληθεῖς· ἀποφυγόντος δὲ ἢ καταγνωσθέντος τέλος ἔχει καὶ διώρισται τούτων ὁπότερόν ἐστιν. ὥστε δεινὸν νομίζω τοὺς μὲν ἁλόντας μιᾷ ψήφῳ 9 μόνον ἀποθνῄσκειν, καὶ τὰ χρήματα δημεύειν ⟨ὑμᾶς⟩ αὐτῶν, τῶν δὲ νικησάντων πάλιν τὰς αὐτὰς κατη-

7. μακρότερα] Attici oratores dicunt πλείω. — γὰρ οὐδὲν ci. R.: οὐδὲν γάρ. — πλέον L. cf. Meisterhans § 58 c. — καὶ μήτι τοῖς Q. — ἐθέλοντι Q L.: θέλ. A. — περὶ ἑκάστου ci. R. — βουλεύσασθαι Q.

8. στασιωτίας A, ἀσωτίας Q (corr. Ald.). — λόγος . . . καταλελ. pr. A (vid. καὶ eras.). — ἂν om. Q. — ἂν ⟨καὶ⟩ Bl. — περὶ αὐτῶν Q; mox π. τούτων Q corr. (ων super ου). — γενέσθαι Q. — ἦν del. Bl. — ψευδὴς οὔτ' εἰ ἀληθὴς εἰσιν Q. — ἀποφεύγοντος A Q (corr. Ald.). 9. ὥστε Steph.: ὡς. — ὑμᾶς add. R., vel δημεύεσθαι ci. cum Muret. (δημόσι' εἶναι Cob.). Contra ἀποκτείνειν pro ἀποθνήσκειν ci. Gebauer — τοὺς δὲ νικήσαντας Muret. R. (qui etiam τὸν δὲ νικήσαντα) cf. 1,104 —